ὥλλ
ΓV

ἀλλ' οὐ τοσοῦτον οἶμαι καὶ οὕτως, ὅσον καὶ ὥσπερ ἡμῖν τῇ σοφωτάτῃ σου ψυχῇ καταπέμπεται. ἀλλ' ἄκρατον ὅλως, ἀμιγὲς καὶ διαφανές. καὶ τοῦτο δῆλον ἐστὶν, ἐκ τῆς ψυχικῆς ἐνεργείας καὶ δυνάμεως. αἱ τῆς θειοτάτης σου ψυχῆς ὁσημέραι δεικνύουσι τὴν ἐνέργειαν. ὧν γάρ φασιν αἱ δυνάμεις διάφοροι, τούτων καὶ τὸ φανταστικὸν πνεῦμα διάφορον. ἀεὶ κινοῦν. ἀεὶ ἐνεργοῦν. ἀεὶ λάμπον ὑπὲρ τὸν ἥλιον. ὅπερ ἐκεῖνον μὲν καθίστανται ἐμποδὼν, νῦν μὲν νεφέλαι, νῦν δὲ καλύψαι. γῆς τε θέσεις. καὶ ἀέρος μεταβολαί. σὺ δὲ μὴ πολλοῦ τοῦ περιόντος τὴν ὑφ' ἥλιον καταυγάζεις (sic), νύκτας τε καὶ ἡμέρας πάντα τῇ μὲν, ταῖς αἰσθήσεσι καὶ τῷ νῷ. τῇ δὲ, φαντασίᾳ καὶ ταῖς δι' ὀνείρων δυνάμεσιν. ἣ μᾶλλον ἡμῖν τὸ θεῖον συγγίνεται τῆς αἰσθήσεως μὴ δυναμένης ἀποβλέπειν πρὸς τὸ φανότατον. καὶ ταῦτα μὲν ταύτῃ: ἀρετῶν δὲ πέρι, πῶς ἂν εἴποιμι κατ' ἀξίαν. οὐχ ἡ φυσικὴ τῶν ἀρετῶν ἐστι σοι; οὐκ ἔχεις τὴν ἠθικὴν λεγομένην; οὐ πρόσεστιν ἡ πολιτικὴ ἥν φασι μετὰ λόγου καὶ φρονήσεως κατορθοῦσαι; οὐχ ἡ καθαρτικὴ, δι' ἧς τῶν παθῶν ἀποκαθαιρόμεθα; οὐχ ἡ θεωροῦσα τοῦ νοῦ θεωρητικὴ; οὐχ ἡ τὸ θειότατον ἡμῶν τὴν ψυχὴν ἀνεγείρουσα, καὶ πρὸς αὐτὸ τὸ θεῖον ἀνάγουσα καὶ ὅμοιον αὐτῷ ποιουμένη θεουργικὴ; οὐ τὴν πηγὴν τῶν ἀρετῶν ἔχεις, τῶν ἁπασῶν τὴν τελεωτάτην, ἧς τότε μέτεστι τοῖς ἀξίοις, ὅταν αὐτὴν τὴν ἀρετὴν ἐνεργήσωμεν ξύμπασαν νόησιν ἀφέντες τὴν μεγίστην; οὐχ ὅτι ἂν εἴπῃ τις τῶν καλῶν καὶ τιμίων, τοῦτο μετὰ πολλοῦ τοῦ περιόντος τῇ βασιλείᾳ σου πρόσεστι; διὰ δὴ ταῦτα καὶ ἔτι πλείω γε τούτων, ὦ τῆς βασιλείας θεότευκτον ἐκμαγεῖον, καὶ τῶν ἐσομένων προλέγεις τὰς ἐκβάσεις ἀριδηλότατα. οὐκ ἔστι λέγων ἤδη καιρὸς, πολέμου δηλονότι καὶ μάχης. ὥρα δὲ τὸ νῦν ἔχον τῆς τῶν μετεώρων περὶ φρονήσεως,

Reliqua desiderantur.

Scripsi & recognovi J. G. Sch. nonis Oct. 1713.

θεῷ τῷ σωτῆρι δόξα.

ἀδραστείας) ἡ μαρμαρένη. ap. Niceph. Gregor. ad Syn. p. 386. & p. 387. ἡ ἀδράστεια, ἡ φύσις. et ibi & in Synesio plura.